οὕτως ἐρεῖς τῷ δούλῳ μου Δαυιδ Τάδε λέγει κύριος παντοκράτωρ
Ἔλαβόν σε ἐκ τῆς μάνδρας ἐξόπισθεν τῶν ποιμνίων τοῦ εἶναι εἰς
8 ἡγούμενον ἐπὶ τὸν λαόν μου Ισραηλ· [8]καὶ ἤμην μετὰ σοῦ ἐν πᾶ-
σιν, οἷς ἐπορεύθης, καὶ ἐξωλέθρευσα πάντας τοὺς ἐχθρούς σου
ἀπὸ προσώπου σου καὶ ἐποίησά σοι ὄνομα κατὰ τὸ ὄνομα τῶν
9 μεγάλων τῶν ἐπὶ τῆς γῆς. [9]καὶ θήσομαι τόπον τῷ λαῷ μου Ισραηλ
καὶ καταφυτεύσω αὐτόν, καὶ κατασκηνώσει καθ᾿ ἑαυτὸν καὶ οὐ με-
ριμνήσει ἔτι, καὶ οὐ προσθήσει ἀδικία τοῦ ταπεινῶσαι αὐτὸν καθ-
10 ὼς ἀπ᾿ ἀρχῆς. [10]καὶ ἀφ᾿ ἡμερῶν, ὧν ἔταξα κριτὰς ἐπὶ τὸν λαόν
μου Ισραηλ, καὶ ἐταπείνωσα ἅπαντας τοὺς ἐχθρούς σου· καὶ αὐ-
11 ξήσω σε, καὶ οἶκον οἰκοδομήσει σοι κύριος. [11]καὶ ἔσται ὅταν πλη-
ρωθῶσιν αἱ ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου,
καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας
12 σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ· [12]αὐτὸς οἰκοδομήσει μοι
13 οἶκον, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως αἰῶνος. [13]ἐγὼ ἔσομαι
αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν· καὶ τὸ ἔλεός μου
οὐκ ἀποστήσω ἀπ᾿ αὐτοῦ ὡς ἀπέστησα ἀπὸ τῶν ὄντων ἔμπροσθέν
14 σου. [14]καὶ πιστώσω αὐτὸν ἐν οἴκῳ μου καὶ ἐν βασιλείᾳ αὐτοῦ
ἕως αἰῶνος, καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος ἕως αἰῶνος.
15 [15]κατὰ πάντας τοὺς λόγους τούτους καὶ κατὰ πᾶσαν τὴν ὅρασιν
16 ταύτην, οὕτως ἐλάλησεν Ναθαν πρὸς Δαυιδ. — [16]καὶ ἦλθεν ὁ
βασιλεὺς Δαυιδ καὶ ἐκάθισεν ἀπέναντι κυρίου καὶ εἶπεν Τίς εἰμι
ἐγώ, κύριε ὁ θεός, καὶ τίς ὁ οἶκός μου, ὅτι ἠγάπησάς με ἕως αἰ-
17 ῶνος; [17]καὶ ἐσμικρύνθη ταῦτα ἐνώπιόν σου, ὁ θεός, καὶ ἐλάλησας
ἐπὶ τὸν οἶκον τοῦ παιδός σου ἐκ μακρῶν καὶ ἐπεῖδές με ὡς ὅρα-
18 σις ἀνθρώπου καὶ ὕψωσάς με, κύριε ὁ θεός. [18]τί προσθήσει ἔτι
19 Δαυιδ πρὸς σὲ τοῦ δοξάσαι; καὶ σὺ τὸν δοῦλόν σου οἶδας. [19]καὶ
20 κατὰ τὴν καρδίαν σου ἐποίησας τὴν πᾶσαν μεγαλωσύνην. [20]κύριε,
οὐκ ἔστιν ὅμοιός σοι, καὶ οὐκ ἔστιν πλὴν σοῦ κατὰ πάντα, ὅσα
21 ἠκούσαμεν ἐν ὠσὶν ἡμῶν. [21]καὶ οὐκ ἔστιν ὡς ὁ λαός σου Ισραηλ
ἔθνος ἔτι ἐπὶ τῆς γῆς, ὡς ὡδήγησεν αὐτὸν ὁ θεὸς τοῦ λυτρώσα-
σθαι ἑαυτῷ λαὸν τοῦ θέσθαι ἑαυτῷ ὄνομα μέγα καὶ ἐπιφανὲς τοῦ
ἐκβαλεῖν ἀπὸ προσώπου λαοῦ σου, οὓς ἐλυτρώσω ἐξ Αἰγύπτου,
22 ἔθνη. [22]καὶ ἔδωκας τὸν λαόν σου Ισραηλ σεαυτῷ λαὸν ἕως αἰῶ-
23 νος, καὶ σύ, κύριε, αὐτοῖς εἰς θεόν. [23]καὶ νῦν, κύριε, ὁ λόγος σου,
ὃν ἐλάλησας πρὸς τὸν παῖδά σου καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ, πιστω-

9 αδικια] υιος αδικιας *L* | απ > BS† || 10 οικον οικοδομησει σοι uel sim. compl.] οικον > BSAV, σε pro σοι BS || 11 αι > B† | και $2^0$ > A | ος] ο BS || 13 οντων > A || 14 ο > B† || 16 απεναντιον S† || 21 ετι > A† | εαυτω $2^0$] ε > BS | ους] ου A || 22 κυριος B† | αυτοις] pr. εγενου *L*†, pr. εγενηθης compl. || 23 πιστωθητω] + η χιρ σου S†